ὁ β καὶ τὸν κ τὸν δ ε πολλαπλασιάσας τὸν α, τὸν γ πεποίη

πεποίηκεν· ὁ γ ἄρα στερεός ἐστι· πλευραὶ δὲ αὐτοῦ εἰσιν οἱ δ, ε, β· ὅπερ ἔδει δεῖξαι:

η

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν· ὁ μὲν τρίτος ἀπὸ τῆς μονάδος τετράγωνός ἐστι καὶ οἱ ἕνα διαλείποντες πάντες· ὁ δὲ τέταρτος κύβος καὶ οἱ δύο διαλείποντες πάντες· ὁ δὲ ἕβδομος κύβος ἅμα καὶ τετράγωνος καὶ οἱ πέντε διαλείποντες πάντες· ἔστωσαν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ α β γ δ ε ζ· λέγω ὅτι ὁ μὲν τρίτος ἀπὸ τῆς μονάδος ὁ β τετράγωνός ἐστι καὶ οἱ ἕνα διαλείποντες πάντες· ὁ δὲ τέταρτος ὁ γ κύβος καὶ οἱ δύο διαλείποντες πάντες· ὁ δὲ ἕβδομος ὁ ζ κύβος ἅμα καὶ τετράγωνος καὶ οἱ πέντε διαλείποντες πάντες· ἐπεὶ γάρ ἐστιν ὡς ἡ μονὰς πρὸς τὸν α οὕτως ὁ α πρὸς τὸν β· ἰσάκις ἄρα ἡ μονὰς τὸν α ἀριθμὸν μετρεῖ καὶ ὁ α τὸν β· ἡ δὲ μονὰς τὸν α μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· καὶ ὁ α ἄρα τὸν β μετρεῖ κατὰ τὰς ἐν τῷ α μονάδας· ὁ α ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν β πεποίηκε· τετράγωνος ἄρα ἐστὶν ὁ β· καὶ ἐπεὶ οἱ β γ δ ἑξῆς ἀνάλογόν εἰσιν· ὁ δὲ β τετράγωνός ἐστι· καὶ ὁ δ ἄρα τετράγωνός ἐστι· διὰ τὰ αὐτὰ δὴ καὶ ὁ ζ τετράγωνός ἐστιν· ὁμοίως δὴ δείξομεν ὅτι καὶ οἱ ἕνα διαλείποντες πάντες τετράγωνοί εἰσιν· λέγω δὴ ὅτι καὶ ὁ τέταρτος ἀπὸ τῆς μονάδος ὁ γ κύβος ἐστὶ καὶ οἱ δύο διαλείποντες πάντες· ἐπεὶ γάρ ἐστιν ὡς ἡ μονὰς πρὸς τὸν α οὕτως ὁ β πρὸς τὸν γ· ἰσάκις ἄρα ἡ μονὰς τὸν α ἀριθμὸν μετρεῖ καὶ ὁ β τὸν γ· ἡ δὲ μονὰς τὸν α ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μονάδας· καὶ ὁ β ἄρα τὸν γ μετρεῖ κατὰ τὰς ἐν τῷ α μονάδας· ὁ α ἄρα τὸν β πολλαπλασιάσας τὸν γ πεποίηκεν· ἐπεὶ οὖν ὁ α ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν β πεποίηκε· τὸν δὲ β πολλαπλασιάσας τὸν γ πεποίηκε· κύβος ἄρα ἐστὶν ὁ γ· καὶ ἐπεὶ οἱ γ δ ε ζ ἑξῆς ἀνάλογόν εἰσιν· ὁ δὲ γ κύβος ἐστί· καὶ ὁ ζ ἄρα κύβος ἐστίν· ἐδείχθη δὲ καὶ τετράγωνος· ὁ ἄρα ἕβδομος ἀπὸ τῆς μονάδος ὁ ζ κύβος ἐστὶ καὶ τετράγωνος·



ὁμοίως δὴ δείξομεν ὅτι καὶ οἱ πέντε διαλείποντες πάντες κύβοι τέ εἰσι καὶ τετράγωνοι· ὅπερ ἔδει δεῖξαι:

θ

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν· ὁ δὲ μετὰ τὴν μονάδα τετράγωνος ᾖ· καὶ οἱ λοιποὶ πάντες τετράγωνοι ἔσονται· καὶ ἐὰν ὁ μετὰ τὴν μονάδα κύβος ᾖ· καὶ οἱ λοιποὶ πάντες κύβοι ἔσονται· ἔστωσαν ἀπὸ μονάδος ἑξῆς ἀνάλογον ὁσοιδηποτοῦν ἀριθμοὶ οἱ α β γ δ ε ζ· ὁ δὲ μετὰ τὴν μονάδα ὁ α τετράγωνος ἔστω· λέγω ὅτι καὶ οἱ λοιποὶ πάντες τετράγωνοι ἔσονται· ὅτι μὲν οὖν ὁ τρίτος ἀπὸ τῆς μονάδος ὁ β τετράγωνός ἐστι καὶ οἱ ἕνα διαλείποντες πάντες δέδεικται· λέγω δὴ ὅτι καὶ οἱ λοιποὶ πάντες τετράγωνοί εἰσιν· ἐπεὶ γὰρ οἱ α β γ ἑξῆς ἀνάλογόν εἰσιν· καί ἐστιν ὁ α τετρά-

[illegible]

[illegible]

θ

164

BIBLIOTHECA BODLEIANA